Βραχέα Χρονικά, έκδ. P. Schreiner, αρ. 14

## Περὶ τῶν ἀπὸ κτίσεως κόσμου ἐτῶν καὶ τῶν ἀνέκαθεν βασιλευσάντων ἐν τῇ Ῥωμανίᾳ

ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ‚βσμβʹ.

ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη φκεʹ.
ἀπὸ τῆς πυργοποιΐας ἕως τοῦ Ἀβραὰμ ἔτη υκεʹ.
ἀπὸ τοῦ Ἀβραὰμ ἕως ἐξόδου Ἰσραὴλ ἐξ Αἰγύπτου ἔτη υνεʹ.
ἀπὸ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ ναοῦ Σολομῶντος ἔτη ψοεʹ.
ἀπὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἕως τῆς αἰχμαλωσίας Ἰσραὴλ ἔτη υκεʹ.
ἀπὸ τῆς βασιλείας Σολομῶντος ἕως τῆς βασιλείας Ἀλεξάνδρου ἔτη χμγʹ.
ἀπὸ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου τοῦ Μακεδόνος ἔτη τιηʹ.
ἀπὸ τοῦ Ἀλεξάνδρου ἕως τοῦ Χριστοῦ ἔτη τγʹ.
ὁμοῦ χρόνοι ‚εφʹ.

δεῖ εἰδέναι ὅτι ἡ σωτήριος σταύρωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γέγονε κατὰ τὸ ‚εφλαʹ ἔτος, κύκλος τοῦ μὲν ἡλίου ιηʹ, τῆς δὲ σελήνης εʹ, ἡμέρᾳ παρασκευῇ, ὥρᾳ θʹ, τῷ ιηʹ ἔτει τῆς Τιβερίου βασιλείας. [ἦν δὲ ιδʹ τῆς σελήνης, τουτέστιν τὸ νομικὸν φάσκα, μηνὶ ἀπριλλίῳ ιηʹ, ἡμέρᾳ ϛʹ]

ἡ δὲ ἁγία ἀνάστασις τῇ κʹ.
ἀπὸ τοῦ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου τοῦ βασιλέως ἔτη τλʹ.
ὁμοῦ τὰ ἀπὸ κτίσεως κόσμου μέχρι τοῦ μεγάλου Κωνσταντίνου ἔτη ‚εωλϛʹ.

## I

### *Konstantin d. Gr. (306—337)*

**1** ὁ οὖν μέγας Κωνσταντῖνος ἐκράτησε τῆς βασιλείας τῷ εἰρημένῳ ἔτει ‚εωκεʹ. καὶ ἐν τῷ δωδεκάτῳ χρόνῳ τῆς αὐτοῦ βασιλείας ἔκτισε τὴν Κωνσταντινούπολιν. ἐβασίλευσεν οὖν τὰ ὅλα ἔν τε Ῥώμῃ καὶ Κωνσταντινουπόλει ἔτη λʹ.

**1a** οἱ δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου τοῦ βασιλέως μετοικισθέντες ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης εἰς Κωνσταντινούπολιν συγκλητικοί, πρῶτοι καὶ μεγιστάνες ἦσαν οὗτοι· Ἀρμάτιος, Ὀλύμβριος, Βῆρος, Σεβῆρος, Οὐρβίνιος, Ἰσίδωρος, Εὐγένιος, Εὔβουλος, Στούδιος, Φλωρέντιος, Καλλίστρατος καὶ Μαριανός, οἵτινες καὶ οἴκους λαμπροὺς καὶ ναοὺς καὶ γηροκομεῖα καὶ ξενῶνας ἐν τῇ Πόλει ἐνήγειραν κελεύσει τοῦ βασιλέως, ὧν καὶ αἱ κλήσεις ἐν αὐτοῖς μέχρι τοῦ νῦν διασώζονται, μόνου τοῦ Ἰσιδώρου ἀλλαξαμένου τὴν κλῆσιν καὶ κεκλημένου Θεοφίλου. ἦν δὲ καὶ ὁ τοῦ Φλωρεντίου τῶν Σπουδαίου σύνεγγυς. ἀλλὰ καὶ Εὐφρατᾶς ὁ ἐπιστατήσας τῇ κτίσει τῆς Κωνσταντινουπόλεως ἴδιον οἶκον κατεσκεύασεν, ὃς ἐς ὕστερον γηροκομεῖον ἐχρημάτισεν ἐν τῇ τοποθεσίᾳ τοῦ Διμακέλλου· οὕτω τοῦ Εὐφρατᾶ καλούμενον ἕως τῆς σήμερον.

### *Konstantios (337—361)*

**2** ὁ Κωνστάντιος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιαʹ, ἡμέρας κδʹ.

*Julian (361—363)*

3 Ἰουλιανὸς ὁ παραβάτης, ὁ βέβηλος καὶ θεήλατος, ἔτη δύο ἥμισυ, ἡμέρας ιε'.

*Jovian (363—364)*

4 Ἰοβιανὸς ὁ υἱὸς Ἰοβιανοῦ στεφθεὶς ἐν Περσίδι ὑπὸ τοῦ στρατοῦ μῆνας ζ', ἡμέρας ιε'.

*Valentinian (364—375)*

5 Οὐαλεντινιανὸς ὁ εὐσεβὴς καὶ φιλόθεος σὺν Οὐάλεντι τῷ δυσσεβεῖ καὶ ἀρειανῷ ἔτη ιβ'.

*Gratian (375—383)*

6 Γρατιανὸς ὁ υἱὸς αὐτοῦ τοῦ ῥηθέντος Οὐάλεντος ἔτη γ'.

*Theodosios I. (379—395)*

7 Θεοδόσιος ὁ μέγας, ὁ ἐξ Ἱσπανίας, ὁ εὐσεβέστατος καὶ μισοπόνηρος, ἔτη ιζ'.

*Arkadios (395—408)*

8 Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ ἔτη ιγ'.

*Honorius (395—423)*

9 Ὁνώριος ἔτη γ'.

*Theodosios II. (408—450)*

10 Θεοδόσιος ὁ μικρός, ὁ υἱὸς Ἀρκαδίου, ὁ καλλιγράφος, ὁ εὐσεβέστατος καὶ φιλάγαθος, ἔτη μβ'.

*Markianos (450—457)*

11 Μαρκιανός, ὁ ἀποκαλυφθεὶς παρὰ θεοῦ, ὁ πάσης καλοκαγαθίας ἔμπλεως, ἔτη ς' ἥμισυ.

*Leo I. (457—474)*

12 Λέων ὁ μέγας, ὁ Μακέλλης, ὁ εὐσεβὴς καὶ πιστότατος, ἔτη ιη'.

*Leo II. (474)*

13 Λέων ὁ μικρός, ὁ ἔγγονος αὐτοῦ, ὁ υἱὸς Ζήνωνος, [ἔτη] ⟨μῆνας⟩ ια'.

*Zenon (474—475)*

14 Ζήνων, ὁ ἐπικληθεὶς Ἀγόνατος, ὁ πατὴρ αὐτοῦ, ἔτη β' ἥμισυ, ἡμέρας β'.

*Basiliskos (475—476)*

15 Βασιλίσκος ὁ δυσσεβὴς ἔτη β', μῆνας η', ἡμέραν α'.

*Zenon (476—491)*

16 καὶ πάλιν Ζήνων ἔτη ια', ἡμέρας ιε'.

*Anastasios (491—518)*

17 'Αναστάσιος ὁ δίκορος, ὁ ἀπὸ σιλεντιαρίων, ἔτη κζ', μῆνας γ', ἡμέρας γ', ὁ πυρίκαυστος καὶ αἱρετικός.

*Justin I. (518—527)*

18 'Ιουστῖνος ὁ Θράξ, ὁ κράτιστος καὶ εὐσεβὴς καὶ εὐμετάδοτος, ἔτη ε'.

*Justinian I. (527—565)*

19 'Ιουστινιανὸς ὁ ἀδελφόπαις αὐτοῦ, ὁ κτήτωρ τῆς μεγάλης ἐκκλησίας, ἔτη λη' ἥμισυ.

*Justin II. (565—578)*

20 'Ιουστῖνος ὁ ἀπὸ κουροπαλατῶν, ὁ ἀδελφόπαις αὐτοῦ, ὁ δικαιότατος, ἔτη ιγ'.

*Tiberios (578—582)*

21 Τιβέριος ὁ Θρὰξ ἔτη ε'.

*Maurikios (582—602)*

22 Μαυρίκιος ὁ γαμβρὸς αὐτοῦ, ὁ εὐσεβέστατος καὶ μισοπόνηρος, ἔτη κ'.

*Phokas (602—610)*

23 Φωκᾶς ὁ Καππάδοξ, ὁ τύραννος καὶ αἱμοβόρος καὶ δυσσεβής, ἔτη η' ἥμισυ, ἡμέρας η'.

*Herakleios (610—641)*

24 'Ηράκλειος ὁ στρατηγὸς τῆς 'Αφρικῆς ἔτη λ'.

*Konstantin III. (641)*

25 Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ἔτος α'.

*Konstans II. (641—668)*

26 Κωνσταντῖνος ὁ ἔγγονος 'Ηρακλείου, ὁ δυσσεβὴς καὶ μιαιφόνος ἔτη κζ'.

*Konstantin IV. (668—685)*

27 Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Πωγωνάτος (!), ὁ τοῦ Δυρραχίου, ὁ εὐσεβέστατος καὶ πραότατος, ἔτη ιζ'.

27a ὁμοῦ τὰ ἀπὸ κτίσεως κόσμου ἕως τῆς βασιλείας 'Ιουστινιανοῦ τοῦ 'Ρινοτμήτου ἔτη ,ςρκα'.

*Justinian II. (685—695)*

28 Ἰουστινιανὸς ὁ Ῥινότμητος, ὁ υἱὸς αὐτοῦ, ὁ ἀγριώτατος καὶ ἀγριότροπος καὶ ἀκρατὴς θυμοῦ, τυραννούμενος ἔτη ι΄.

*Leontios (695—698)*

29 Λεόντιος ἔτη γ΄.

*Tiberios II. (698—705)*

30 Ἀψίμαρος ὁ καὶ Τιβέριος ἔτη ζ΄.

*Justinian II. (705—711)*

31 καὶ πάλιν Ἰουστινιανὸς ὁ Ῥινότμητος ἔτη ζ΄.

*Philippikos (711—713)*

32 Φιλιππικὸς ὁ καὶ Βαρδάνιος, ὁ δυσσεβὴς καὶ αἰσχρὸς καὶ μιαρός, ἔτη β΄.

*Anastasios II. (713—715)*

33 Ἀναστάσιος ὁ καὶ Ἀρτέμιος, ὁ εὐσεβέστατος καὶ πρωτασηκρῆτις καὶ φιλόσοφος, ἔτη β΄.

*Theodosios III. (715—717)*

34 Θεοδόσιος ὁ Ἀτραμυτινός, ὁ πραότατος καὶ συμπαθέστατος, ἔτος α΄.

*Leo III. (717—741)*

35 Λέων ὁ Ἴσαυρος, ὁ Κόνων, ὁ Συρογενής, ὁ μισάγιος καὶ ἐναγὴς καὶ ἀντίθεος, ἔτη κδ΄, μῆνας β΄, ἡμέρας ε΄.

*Konstantin V. (741—775)*

36 Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, ὁ Κοπρώνυμος, ὁ δυσσεβὴς καὶ παμμίαρος γεγονὼς καὶ σκωληκόβρωτος πρὸ τοῦ τεθνάναι, ἔτη λδ΄, μῆνας γ΄.

*Leo IV. (775—780)*

37 Λέων ὁ υἱὸς αὐτοῦ, ὁ ἐκ τῆς Χαζάρας, ὁ βέβηλος καὶ ἀποτρόπαιος, ἔτη ιε΄.

*Konstantin VI. (780/790—797)*

38 Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, ὁ νεωτερίζων, ὁ τυφλωθείς, ὁ υἱὸς τῆς Εἰρήνης, ἔτη ζ΄.

*Eirene (797—802)*

39 Εἰρήνη μόνη ἔτη ε΄.

*Nikephoros I. (802—811)*

40 Νικηφόρος ὁ Σελευκεύς, καὶ συμπαθὴς καὶ φιλοδίκαιος καὶ φιλόδακρυς, ὁ ἀπὸ γενικοῦ, ἔτη η', μῆνας θ'.

*Staurakios (811)*

41 Σταυράκιος ὁ υἱὸς αὐτοῦ ἔτος α', μῆνας δ'.

*Michael I. (811—813)*

42 Μιχαὴλ ὁ Ῥαγγαβέ, ὁ γαμβρὸς αὐτοῦ, ὁ φιλάγαθος καὶ εὐσεβέστατος, ἔτος α', μῆνας θ'.

*Leo V. (813—820)*

43 Λέων ὁ παραβάτης, ὁ Ἀρμένιος, ὁ δυσσεβὴς καὶ ἀνήμερος, καὶ Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ, ἔτη ζ', μῆνας ε'.

*Michael II. (820—829)*

44 Μιχαὴλ ὁ τραυλός, ὁ Ἀμοραῖος, ὁ καὶ ἀφροσύνης καὶ ἀπειροκαλίας ἔμπλεως καὶ εἰκονομάχος, σὺν Θεοφίλῳ τῷ υἱῷ αὐτοῦ, ἔτη η', μῆνας θ'.

*Theophilos (829—842)*

45 Θεόφιλος ὁ υἱὸς αὐτοῦ, ἔτη ιβ', μῆνας γ'.

*856/6364 (Ind. 4) März 15—866/6374 (Ind. 14) Mai 26*

46 Μιχαὴλ ὁ υἱὸς αὐτοῦ, ὁ μεθυστής, μετὰ Θεοδώρας τῆς μητρὸς αὐτοῦ, τῆς εὐσεβεστάτης καὶ ὀρθοδόξου, ἔτη ιε'. ὁ τοιοῦτος ἀνηγορεύθη αὐτοκράτωρ κατὰ τὸ ,ς⟨τξδ'⟩ ἔτος. καὶ μόνος ὁ μεθυστὴς ἔτη ι'.

*866/6374 (Ind. 14) Mai 26—867/6376 (Ind. 1) Sept. 23*

47 ὁ αὐτὸς Μιχαὴλ σὺν Βασιλείῳ τῷ Μακεδόνι ἔτος α', μῆνας δ'.

*867/6376 (Ind. 1) Sept. 24*

48 Βασίλειος ὁ Μακεδών, ὃς ἀνηγορεύθη κατὰ τὸ ,ςτος' ἔτος, ἔτη ιθ'.

*886/6394 (Ind. 4) Aug. 30—912/6420 (Ind. 15) Mai 11*

49 Λέων ὁ υἱὸς αὐτοῦ, ὁ σοφός, σὺν Ἀλεξάνδρῳ κατὰ τὸ ,ςτϞε' ἔτος, ἔτη κε', μῆνας η'.

*912/6420 (Ind. 15) Mai 11—913/6421 (Ind. 1) Juni 6*

50 Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ, μόνος, κατὰ τὸ ,ςυκα' ἔτος, ἔτος α', ἡμέρας κθ'.

*913/6421 (Ind. 1) Juni 6—920/6428 (Ind. 8) Aug.*

51 Κωνσταντῖνος, ὁ πρῶτος, ὁ πορφυρογέννητος, ὁ υἱὸς Λέοντος τοῦ σοφοῦ, σὺν τῇ μητρὶ αὐτοῦ, ἔτη η', κατὰ τὸ ,ϛυκβ'.

*920/6429 (Ind. 9) Dez. 17*

52 Ῥωμανὸς ὁ υἱὸς Ἀβαστάκτου, ὁ Λακαπηνός, ὁ πρεσβύτερος, ὁ πενθερὸς τοῦ αὐτοῦ Κωνσταντίνου, σὺν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ ἔτη κϛ'. ὁ τοιοῦτος Ῥωμανὸς ἀνηγορεύθη μηνὶ δεκεμβρίῳ ιζ', ἰνδικτιῶνος η', ἔτους ,ϛυκη'.

*922/6430 (Ind. 10) Apr. (?)*

53 μετὰ δὲ διετῆ χρόνον τῆς βασιλείας αὐτοῦ, κατὰ τὴν ι' ἰνδικτιῶνα, τοῦ ,ϛυλ' ἔτους, ἐξέθετο τὴν περὶ προτιμήσεως νεαράν.

*934/6443 (Ind. 8) Sept. (?)*

54 κατὰ δὲ τὴν δευτέραν ἰνδικτιῶνα, τοῦ ,ϛυλζ' ἔτους, τὸ περὶ τῶν ὑπεισερχομένων δυνατῶν εἰς ἀνακοινώσεις πενήτων. ἀνακλᾷ δὲ αὐτὴν ἡ τοιαύτη νεαρὰ καὶ εἰς τὴν παρελθοῦσαν τηνικαῦτα πρώτην ἰνδικτιῶνα, τουτέστι τὸν τοῦ λιμοῦ τοῦ μεγάλου καιρόν.

*947/6455 (Ind. 5) März*

55 κατὰ δὲ τὴν πέμπτην ἰνδικτιῶνα, τοῦ ,ϛυνε' ἔτους, ἐπεκύρωσεν ἐν μέρει τὴν τοιαύτην νομοθεσίαν ὁ βασιλεὺς Κωνσταντῖνος. τὰ δὲ ιη'

ἔτη, ὧν ὁ Δεκαπολίτης ἐν τῇ λύσει μέμνηται, οὐκ ἀπὸ τοῦ καιροῦ τῆς πρώτης ψηφίζονται νομοθεσίας ἤτοι τοῦ ,ϛυλζ' ἔτους, ἀλλ' ἀπὸ τῆς πρώτης ἰνδικτιῶνος, τοῦ ,ϛυλϛ' ἔτους ἤτοι τοῦ λιμοῦ, εἰς ὃν καὶ ἀνακλᾷ ἡ τοιαύτη νομοθεσία, μέχρι τῆς αὐτοκρατορίας τοῦ αὐτοῦ βασιλέως κυροῦ Κωνσταντίνου.

*944 Dez. 20 (?)—945 Jan. 27/6453 (Ind. 3)*

56 καὶ πάλιν Κωνσταντῖνος ὁ Πορφυρογέννητος μετὰ Στεφάνου καὶ Κωνσταντίνου τῶν γυναικαδέλφων αὐτοῦ, ἡμέρας μβ'. οὗτοι δὲ ὑπ' αὐτοῦ τοῦ Κωνσταντίνου τῆς βασιλείας ἐξεβλήθησαν καὶ ἐξωρίσθησαν. [ὁ οὖν ῥηθεὶς Κωνσταντῖνος ὁ Πορφυρογέννητος σὺν τῇ μητρὶ αὐτοῦ, ὡς εἴρηται, ἐκράτησε τῆς βασιλείας ἔτη ζ'. καὶ πάλιν μετὰ Στεφάνου καὶ Κωνσταντίνου τῶν γυναικαδέλφων αὐτοῦ ἡμέρας μβ'.]

*945/6453 (Ind. 3) Jan. 27—959/6468 (Ind. 3) Nov. 9*

57 καὶ μονοκράτωρ σὺν τῷ υἱῷ αὐτοῦ Ῥωμανῷ κατὰ τὴν τρίτην ἰνδικτιῶνα, τοῦ ,ϛυλζ' ἔτους, ἔτη ιε', ἡμέρας ιθ'.

*959/6468 (Ind. 3) Nov. 9—963/6471 (Ind. 6) März 15*

58 Ῥωμανὸς ὁ υἱὸς αὐτοῦ, τὸ παιδίον, σὺν τοῖς υἱοῖς αὐτοῦ, Βασιλείῳ τῷ Βουλγαροκτόνῳ καὶ Κωνσταντίνῳ, τοῖς πορφυρογεννήτοις, ἔτη γ', μῆνας δ', ἡμέρας ϛ'. Βασίλειος καὶ Κωνσταντῖνος οἱ τούτου υἱοί, πάμβρεφοι ὄντες, μῆνας ϛ'.

*963/6471 (Ind. 6) Aug. 16—969/6478 (Ind. 13) Dez. 11*

**59** Νικηφόρος ὁ Φωκᾶς, ὁ ἅγιος, ὁ σφαγεὶς ὑπὸ τοῦ Τζιμισχῆ, ἔτη ϛʹ, μῆνας γʹ, ἡμέρας ϛʹ.

*969/6478 (Ind. 13) Dez. 11—976/6484 (Ind. 4) Jan. 10*

**60** Ἰωάννης ὁ Τζιμισχῆς ἔτη ϛʹ, μῆνα αʹ.

*976/6484 (Ind. 4) Jan. 11—1028/6537 (Ind. 12) Nov. 11*

**61** Βασίλειος ὁ πορφυρογέννητος ἔτη νβʹ, μῆνας ιαʹ, μετὰ τοῦ αὐταδέλφου αὐτοῦ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, ἤγουν ὁ μὲν Βασίλειος χρόνους νʹ, ὁ δὲ Κωνσταντῖνος μετὰ τὴν τελευτὴν τοῦ αὐταδέλφου αὐτοῦ μονοκράτωρ χρόνους βʹ, μῆνας ιαʹ.

*994/6503 (Ind. 8) Sept.—996/6504 (Ind. 9) Jan. 1*

**62** καὶ προστάξας γενέσθαι τὰ ἰσοκωδικά, ἐτελείωσε ταῦτα ἐν ἔτει ͵ϛφγʹ. τὴν δὲ νεαρὰν αὐτοῦ τὴν μεγάλην ἐκθέμενος ἐξεφώνησε ταύτην μηνὶ ἰαννουαρίῳ, ἰνδικτιῶνος θʹ, ἔτους ͵ϛφδʹ.

*1025/6534 (Ind. 9) Dez. 13—1028/6537 (Ind. 12) Nov. 11*

**63** Κωνσταντῖνος ὁ πορφυρογέννητος, ὁ ἀδελφὸς αὐτοῦ, ἔτη δύο, μῆνας ιαʹ.

*1028/6537 (Ind. 12) Nov. 12—1034/6542 (Ind. 2) Apr. 11*

**64** Ῥωμανὸς ὁ Ἀργυρόπουλος, σὺν Ζωῇ τῇ θυγατρὶ τοῦ αὐτοῦ Κωνσταντίνου, ἔτη εʹ, μῆνας ϛʹ.

*1034/6542 (Ind. 2) Apr. 11—1041/6550 (Ind. 10) Dez. 9—10*

**65** Μιχαὴλ ὁ Παφλαγὼν ἐν ἔτει ͵ϛφμβʹ, σὺν τῇ αὐτῇ Ζωῇ, ἔτη ζʹ, μῆνας θʹ.

*1041 Dez. 11—1042 Apr. 21/6550 (Ind. 10)*

**66** Μιχαὴλ ὁ ἀπὸ καίσαρος, ὁ ἀνεψιὸς αὐτοῦ, ὁ καὶ Καλαφάτης λεγόμενος, ὁ τυφλωθεὶς εἰς τὸ Σίγμα, μῆνας δʹ, ἡμέρας [ι]θʹ. ὃς καὶ ἐκπεσὼν τῆς βασιλείας προσέφυγε τῇ μονῇ τῶν Στουδίου, κἀκεῖθεν παρὰ τοῦ λαοῦ καταχθεὶς ἐν τῷ κιόνι τοῦ Σίγματος ἐτυφλώθη παρὰ Νικηφόρου ἐπάρχου τοῦ Καμπαναρίου.

*1042/6550 (Ind. 10) Apr. 21—Juni 11*

**67** αἱ δύο αὐτάδελφοι καὶ δέσποιναι, ἥ τε κυρὰ Ζωὴ καὶ κυρὰ Θεοδώρα μοναρχήσασαι ἡμέρας νʹ, ἀνεκαλέσαντο Κωνσταντῖνον τὸν Μονομάχον, ἐξόριστον ὄντα ἐν τῇ νήσῳ Μιτυλήνῃ·

οἱ δὲ Σάμῳ οἱ καὶ ἀληθέστερον. οὗτος ὁ Κωνσταντῖνος ἐρχόμενος ἐς Σάμωνα ἔξορος προσεπέλασε τῇ Χίῳ νήσῳ, ὅπου τινὲς οἰκοῦντες σπήλαιόν τι ἀσκηταί, ὅπου νῦν ἡ μονὴ τῆς ἁγίας Νέας μονῆς, διορατικῷ χαρίσματι προσειρήκασι τῷ Μονομάχῳ, ὅτι μέλλει βασιλεῦσαι. αὐτὸς δὲ κατὰ τὸ ἀνακληθῆναι εἰς Βυζάντιον καὶ βασιλεῦσαι ἐκέλευσε δαπάναις αὐτοῦ ***

*1042/6550 (Ind. 10) Juni 11—1055/6563 (Ind. 8) Jan. 7—8*

68 καὶ ἐποίησαν αὐτὸν βασιλέα συζυγέντα τῇ Ζωῇ μηνὶ ἰουνίῳ ια', ἰνδικτιῶνος ι', ἔτους ,ϛφν'. καὶ ἐκράτησε τῆς βασιλείας ὁ Μονομάχος ἔτη ιγ', μῆνας ζ'.

*1055/6563 (Ind. 8) Jan. 8—1056/6564 (Ind. 9) Aug. 27*

69 ἡ δὲ κυρὰ Θεοδώρα ἡ πορφυρογέννητος ἔφθασε μοναρχῆσαι ἔτος α', μῆνας η', ἡμέρας κ'. εἶτα τὸν κῦρ Μιχαὴλ τὸν γέροντα, τὸν ἀπὸ στρατιωτικῶν, βασιλέα ἀναγορεύσασα καὶ ζήσασα σὺν τούτῳ ἡμέρας ε' ἐτελεύτησε κατὰ τὴν κζ' τοῦ αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, τοῦ ,ϛφξδ' ἔτους.

*1056/6564 (Ind. 9) Aug. 22—1057/6566 (Ind. 11) Sept. 3*

70 Μιχαὴλ ὁ γέρων, ὁ στρατιωτικός, ἐκράτησε κατὰ τὴν κβ' τοῦ αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, τοῦ ,ϛφξδ' ἔτους. ἐξεβλήθη δὲ τῆς βασιλείας κρατήσας ἔτος α', ἡμέρας ια'.

*1057/6566 (Ind. 11) Sept. 4—1059/6568 (Ind. 13) Nov. 21*

71 Ἰσαάκιος ὁ Κομνηνὸς μετὰ Αἰκατερίνης, τῆς γυναικὸς αὐτοῦ, ἔτη β', μῆνας β', ἡμέρας κβ'.

*1059/6568 (Ind. 13) Nov. 23—1067/6575 (Ind. 5) Mai 23*

72 Κωνσταντῖνος ὁ Δούκας ἔτη ζ', μῆνας ϛ'. καὶ τελευτήσας κατέλιπε βασιλεύειν τὴν γυναῖκα αὐτοῦ τὴν δέσποιναν, τὴν κυρὰν Εὐδοκίαν τὴν Μακρεμβολίτισσαν, σὺν τῷ υἱῷ αὐτοῦ, τῷ κυρῷ Μιχαὴλ καὶ τῷ κυρῷ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ.

*1067/6575 (Ind. 5) Mai 23—1068/6576 (Ind. 6) Jan. 1*

73 ἐκράτησεν οὖν ἡ κυρὰ Εὐδοκία ἡ δέσποινα σὺν τοῖς δυσὶν υἱοῖς αὐτῆς μῆνας ζ', ἡμέρας ι'. εἶτα λαβοῦσα ἄνδρα γνώμῃ τοῦ πατριάρχου καὶ τῆς συγκλήτου Ῥωμανὸν τὸν Διογένην, ἀνηγόρευσεν αὐτὸν βασιλέα κατὰ τὸν μάρτιον μῆνα, τῆς ε' ἰνδικτιῶνος, τοῦ ,ϛφοε' ἔτους.

*1068/6576 (Ind. 6) Jan. 1—1071/6579 (Ind. 9) Aug. 26*

74 Ῥωμανὸς ὁ Διογένης μετὰ τῆς κυρᾶς Εὐδοκίας ἔτη γ', μῆνας η'. καὶ διαφόρως ἐκστρατεύσας κατὰ Περσῶν ἐν τῇ τρίτῃ αὐτοῦ ἐκστρατείᾳ ἐκρατήθη αἰχμάλωτος παρὰ τοῦ σουλτάνου καὶ τῶν Τούρκων. τότε ἑάλω καὶ τῶν βασιλικῶν παρασήμων τὰ κάλλιστα. ἐν οἷς καὶ ὁ πολυθρύλητος μάργαρος ἦν, ὃν ὄρφανον κατωνόμαζον.

*1071/6580 (Ind. 10) Okt. 1—Nov. 1*

75 ἀνηγορεύθη οὖν βασιλεὺς ὁ κῦρ Μιχαὴλ ὁ Δούκας καὶ ἐκράτησε τῆς βασιλείας ἅμα τῇ μητρὶ αὐτοῦ, τῇ δεσποίνῃ κυρᾷ Εὐδοκίᾳ, καὶ συνεβασίλευσε ταύτῃ μῆνα α'. κατεβίβασε δὲ ταύτην καὶ ἀπέκειρε, μόναρχος καταληφθεὶς αὐτός.

*1071/6580 (Ind. 10) Nov. 1—1078/6586 (Ind. 1) März 24*

**76** ἐκράτησεν οὖν τῆς βασιλείας Μιχαὴλ ὁ Δούκας, ὁ υἱὸς τοῦ Δούκα κυροῦ Κωνσταντίνου καὶ τῆς Μακρεμβολιτίσσης κυρᾶς Εὐδοκίας, μετὰ Μαρίας, τῆς γυναικὸς αὐτοῦ, ἔτη ϛ′ ἥμισυ. καταβιβασθεὶς δὲ παρὰ τοῦ Βοτανειάτου ἀπὸ προδοσίας τῆς συμβίου αὐτοῦ καὶ τὸ μοναχικὸν σχῆμα ἐνδυθεὶς ἀπεστάλη εἰς τὴν μονὴν τῶν Στουδίου. ὕστερον δὲ γέγονε βίᾳ μητροπολίτης Ἐφέσου.

*1078/6586 (Ind. 1) März 24—1081/6589 (Ind. 4) Apr. 1*

**77** Νικηφόρος ὁ Βοτανειάτης ἔτη γ′ ἥμισυ. κατεβιβάσθη δὲ τῆς βασιλείας κατὰ τὴν πρώτην τοῦ ἀπριλλίου μηνός, τῆς δ′ ἰνδικτιῶνος, τοῦ ,ϛφπθ′ ἔτους, καὶ ἀποσταλεὶς ἐν τῇ μονῇ τῆς Περιβλέπτου ἀπεκάρη.

*1081/6589 (Ind. 4) Apr. 1—1118/6626 (Ind. 11) Aug. 15*

**78** Ἀλέξιος ὁ Κομνηνός, ὁ πάππος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ἐβασίλευσεν εὐσεβῶς ἔτη λζ′, μῆνας δ′ ἥμισυ. ἐτελεύτησε δὲ κατὰ τὴν ιε′ τοῦ αὐγούστου μηνός, ἤτοι τὴν ἡμέραν τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, ἰνδικτιῶνος ια′, ἔτει ,ϛχκϛ′.

*1118/6626 (Ind. 11) Aug. 15—1143/6651 (Ind. 6) Apr. 8*

**79** Ἰωάννης ὁ Κομνηνός, ὁ πορφυρογέννητος, ὁ υἱὸς αὐτοῦ, ἐκράτησε μηνὶ αὐγούστῳ ιε′, ἰνδικτιῶνος ια′, ἔτους ,ϛχκϛ′, καὶ εὐσεβῶς ἐβασίλευσεν καὶ θεαρέστως ἔτη κδ′, μῆνας ζ′, ἡμέρας κγ′.

*1143/6651 (Ind. 6) März 31—1180/6689 (Ind. 14) Sept. 24*

**80** ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος κῦρ Μανουὴλ ὁ Κομνηνός, ἐκράτησε μηνὶ ἀπριλλίῳ α′, ἰνδικτιῶνος ϛ′, ἔτους ,ϛχνα′, καὶ ἐβασίλευσεν εὐσεβῶς ἔτη λζ′, μῆνας ε′, ἡμέρας κγ′. ἐξεδήμησε δὲ πρὸς κύριον τῇ κδ′ τοῦ σεπτεμβρίου μηνός, τῆς ιδ′ ἰνδικτιῶνος, τοῦ ,ϛχπθ′ ἔτους, ὥρᾳ α′, διὰ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος Ματθαῖος μοναχὸς μετονομασθείς.

*1169/6678 (Ind. 3) Sept. 10*

**81** κατὰ δὲ τὴν ι′, μηνὸς σεπτεμβρίου, ἰνδικτιῶνος γ′, ἔτους ,ϛχοη′, ἤτοι ἐν τῷ κη′ ἔτει τῆς βασιλείας αὐτοῦ, ἐγεννήθη ὁ κάλλιστος υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος κῦρ Ἀλέξιος ὁ Κομνηνός.

*1172/6680 (Ind. 5) Sommer (?)*

**82** ἐστέφθη δὲ παρ' αὐτοῦ ὁ τοιοῦτος εἰς βασιλέα κατὰ ⟨τὴν ** τοῦ *** μηνός⟩, ἰνδικτιῶνος ε′, τοῦ ,ϛχπ′ ἔτους.

*1176/6685 (Ind. 10) Sept. 17*

**83** μηνὶ σεπτεμβρίῳ ιζ′, ἰνδικτιῶνος ι′, ἔτους ,ϛχπε′, γέγονεν ἐν τῷ Τζιβλιμανῇ κατάλυσις τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ.

*1180/6688 (Ind. 13) März 2, Sonntag*

**84** κατὰ δὲ τὴν ιγ' ἰνδικτιῶνα, τοῦ ,ςχπη' ἔτους, μηνὶ μαρτίῳ β', ἡμέρᾳ κυριακῇ, συνέζευξε τὸν κῦρ Ἀλέξιον, τὸν υἱὸν αὐτοῦ, γυναικὶ τῇ κυρᾷ Ἄννῃ, τῇ θυγατρὶ τοῦ εὐγενεστάτου ῥηγὸς Φραγγίας, μόνον ἀρραβῶνα εὐχῆς τούτοις δοθείσης παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Θεοδοσίου τοῦ Ἀντιοχέως.

*1180/6689 (Ind. 14) Sept. 24—1182/6691 (Ind. 1) Sept. 6*

**85** κατὰ δὲ τὴν κδ', τοῦ σεπτεμβρίου μηνός, τῆς ιδ' ἰνδικτιῶνος, τοῦ ,ςχπθ' ἔτους, ὥρᾳ α' τῆς ἡμέρας, καθ' ἣν ὁ ἀείμνηστος πατὴρ αὐτοῦ τῆς ἐπιγείου βασιλείας ἠλλάξατο τὴν οὐράνιον, ἀνηγορεύθη βασιλεὺς αὐτοκράτωρ, καὶ ἐβασίλευσεν εὐσεβῶς σὺν τῇ μητρὶ αὐτοῦ, τῇ δεσποίνῃ κυρᾷ Μαρίᾳ, τῇ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ξένῃ μετονομασθείσῃ, ἐχούσῃ παραδυναστεύοντα τὸν πρωτοσέβαστον καὶ πρωτοβεστιάριον κῦρ Ἀλέξιον τὸν Κομνηνόν, ἔτος α', μῆνας ια', ἡμέρας ιγ'.

III

*1182/6691 (Ind. 1) Sept. 6—1183/6692 (Ind. 2) Sept. (Anf.?)*

**86** εἶτα δῆθεν μόνος ἀναιρεθείσης τῆς ἁγίας γυναικὸς ἐκείνης παρὰ τοῦ τυράννου καὶ αὐτοῦ τοῦ τυράννου αὐθεντικῶς ποιοῦντος ὅσα ἐβούλετο, [χρόνον ἕνα], μῆνας ια', ἡμέρας κδ', εἶτα ἀποπνιγέντος καὶ αὐτοῦ τοῦ πορφυρογεννήτου παρὰ τοῦ τυράννου, ἐβασίλευσεν ἀναφανδὸν ὁ αὐτὸς Ἀνδρόνικος ἔτος ἕν, μῆνας ια', ἡμέρας ι'.

*1185/6693 (Ind. 3) Sept. 12*

**87** μετ' αὐτὸν ὁ κῦρ Ἰσαάκιος ὁ Ἄγγελος, προσφυγὼν τῇ ἐκκλησίᾳ κἀκεῖθεν ἀπελθὼν σὺν τῷ συρφετώδει λαῷ καὶ τοῖς φυλακίταις καὶ τισι τῶν συγγενῶν καὶ φίλων αὐτοῦ καὶ αὐτῷ τῷ πατριάρχῃ κυρῷ Βασιλείῳ τῷ Καματηρῷ εἰς τὸ μέγα Παλάτιον καὶ εἰσελθὼν ἐν αὐτῷ καὶ τῆς βασιλείας δραξάμενος, τοῦ Ἀνδρονίκου φυγόντος. ἑάλω δὲ ἀνέμων βιαίων ἀντιπεσόντων αὐτῷ ἐν τῷ Εὐξείνῳ πόντῳ ἤτοι τῇ μεγάλῃ θαλάσσῃ, καὶ ἔπαθεν ὅσα αὐτὸν μὲν ἴσως ἔδει παθεῖν· Χριστιανοὺς δὲ καὶ Ῥωμαίους τοιαῦτα πρᾶξαι ἀνοίκειον ἦν ὅμως.

*1195/6703 (Ind. 13) März—Apr. 12 ca.*

**88** ἐβασίλευσεν ὁ κῦρ Ἰσαάκιος ὁ Ἄγγελος ἔτη θ'. ἐπ' αὐτοῦ ἔσχεν ἀρχὴν ἡ ἐν ταῖς Ζαγοραῖς Βλάχων καὶ Βουλγάρων κατὰ τῶν Χριστιανῶν Ῥωμαίων ἐπανάστασις καὶ ἐληλατήθη πᾶσα ψυχὴ καὶ ἠφανίσθη πᾶσα σχεδὸν δυτικὴ χώρα ὑπὸ τὴν Ῥωμαϊκὴν οὖσα ἐπικράτειαν. ὀψὲ δέ ποτε διεγερθέντος δῆθεν ἐκείνου καὶ ὁρμήσαντος ἐκστρατεῦσαι κατ' αὐτῶν καὶ οὐκ ὀλίγα ἐπισυναγαγόντος στρατεύματα, ὅμως καὶ οὕτως μετὰ τῆς συνήθους νωθρείας ἢ δειλίας περιπατοῦντος ἢ ὅ τι ἂν εἴποι τις, καὶ διὰ τῶν κατ' αἰγιαλὸν κατερχομένου κάστρων καὶ ἀπελθόντος μέχρι τῶν Κυψέλλων, ὁ αὐτάδελφος αὐτοῦ κῦρ Ἀλέξιος ὑποποιησάμενος τὸ στρατόπεδον καί τινας τῶν ὑπερεχόντων μετὰ τοῦ αὐτοῦ ταῦτα αἰτιᾶσθαι τὸν ἀδελφὸν αὐτοῦ, ἅπερ αὐτὸς μετὰ τὸ

ἐγκρατὴς γενέσθαι τῆς βασιλείας πολλαπλασίονα ἀνεδείξατο, ἀνηγορεύθη βασιλεὺς αὐτοκράτωρ καὶ ἀμάχως ἐκάθισεν ἐπὶ τῆς σκηνῆς καὶ τῆς κλίνης αὐτοῦ ἐκεῖσε πρὸς κυνηγέσιον ἀπελθόντος. ὃ καὶ μαθὼν ἐκεῖνος φυγῇ ἐχρήσατο. ἁλοὺς δὲ παρὰ τῶν οἰκείων αὐτοῦ καὶ οὓς ἐν τάξει μεγάλων εἶχε καὶ πιστοτάτων ἀνθρώπων, ἀπετυφλώθη ἐν τῇ κλεισούρᾳ τῆς Μάκρης.

*1195/6703 (Ind. 13) Apr. 12 ca.—1203/6711 (Ind. 6) Juli 18*

**89** καὶ ἐβασίλευσεν ὁ κῦρ Ἀλέξιος ἔτη ζ΄. οὐαὶ δὲ τὴν Ῥωμανίαν ἐν ἐκείναις ταῖς ἡμέραις. αὐτοῦ γὰρ ⟨τὸν⟩ Σαρδαναπάλου διάγοντος καὶ μηδ᾽ ὅλως μήτε αὐτοῦ μήτε τῶν θεραπευτῶν αὐτοῦ οἱανδήτινα στρατιωτικὴν ἢ ἀρχοντικὴν οἰκονομίαν ἐνησχολημένων, τὰ μὲν περιλειφθέντα κάστρα καὶ αἱ χῶραι τῆς Δύσεως λεία Βλάχων γεγόνασι καὶ Κομάνων μέχρι καὶ αὐτῶν τῶν παραλίων καὶ τὰ πλείω δὲ ὑπὸ τὸν Ἰωαννίτζην γεγόνασι καθ᾽ ὁλόκληρον. τέλος δὲ καὶ αὐτὴν τὴν μόνην περιλειφθεῖσαν εἰς βασιλείαν αὐτοῦ βασιλίδα τῶν πόλεων τοῖς Λατίνοις προέδοτο, αὐτὸς ἀνάνδρως καὶ ἀχρήστως φυγών. τοῦ γὰρ ἀνεψιοῦ αὐτοῦ, κυροῦ Ἀλεξίου, τοῦ υἱοῦ τοῦ κυροῦ Ἰσαακίου, φυγόντος ἐντεῦθεν καὶ ἀπελθόντος εἰς τὴν Ἀλαμανίαν, εἰς τὸν ἐπ᾽ ἀδελφῇ γαμβρὸν αὐτοῦ, τὸν Φίλιππον, καὶ μετὰ στόλου Λατινικοῦ βαρέως ἐπελθόντος, μετὰ τὸ ἐπισυναχθῆναι πανταχόθεν τοὺς στρατιώτας καὶ σφαδάζειν ὑπὲρ τῆς πατρίδος αὐτῶν, ὡς ἐφαίνετο, αὐτὸς ἡμέραν ἐξ ἡμέρας τὸν πρὸς τοὺς Λατίνους ὑπερτιθέμενος πόλεμον, τέλος νύκτωρ ὡς ὠνητὸν ἀπέδρα ἀνδράποδον.

*1203/6711 (Ind. 6) Juli 19*

**90** εἰσῆλθεν οὖν διὰ τῆς νυκτὸς ἐκεῖ εἰς τὸ ἐν Βλαχέρναις παλάτιον ὁ ἀνεψιὸς αὐτοῦ, κῦρ Ἀλέξιος, καὶ ἀνηγορεύθη σὺν τῷ πατρὶ αὐτοῦ κυρῷ Ἰσαακίῳ καὶ ἐβασίλευσεν μῆνας ε΄.

*1204/6712 (Ind. 7) Jan. 28*

**91** ὅτι δὲ ἑώρα ὁ χυδαῖος δῆμος αὐθεντικῶς εἰσερχομένους ἐν τῷ μεγάλῳ Παλατίῳ τοὺς Λατίνους καὶ μέγα κακὸν παθεῖν ἐξ αὐτῶν ὑπώπτευσαν — ὃ καὶ ἐξ ἀποτελέσματος ἀληθὲς ἐφάνη — συνῆλθον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ μετὰ πολλὰς ὀχλήσεις καὶ ἀκαταστασίας ἀνηγόρευσαν βασιλέα τὸν σεβαστὸν κῦρ Νικόλαον τὸν Καναβόν, καὶ διήρκεσεν ὁ καλὸς ἐκεῖνος ἄνθρωπος κακοπαθῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὀλιγοστάς τινας ἡμέρας,

*1204/6712 (Ind. 7) Jan. 29*

**92** μαθόντες γὰρ ταῦτα οἱ ἐν τῷ Παλατίῳ τὸν μὲν κῦρ Ἀλέξιον παρέστειλαν τῆς ἀρχῆς, ἀνηγόρευσαν δὲ τὸν Δούκαν κῦρ Ἀλέξιον τὸν λεγόμενον Μούρτζουφλον καὶ οὕτω κατὰ μικρὸν ὑπέρρευσε τὸ πλῆθος ἀπὸ τῆς ἐκκλησίας καὶ ἀπῆλθον εἰς τὸ Παλάτιον πρὸς τὸν Δούκαν Ἀλέξιον. ὁ δὲ Καναβὸς ἑάλω,

**93** καὶ ἐβασίλευσεν ὁ Δούκας κῦρ Ἀλέξιος μῆνας β΄. ἔκτοτε οὖν ἀναισχυντότερον καὶ ἀναφανδὸν ἤρξαντο οἱ Λατῖνοι τήν ποτε βασιλίδα πολιορκεῖν τῶν πόλεων καὶ εἰς ἔργον τὸ προβουλευθὲν διὰ βραχέος ἐξηνέχθη. καὶ ἡ βασιλὶς ᾐχμαλωτίσθη καὶ δούλη γέγονεν ἡ κυρία καὶ πανάπορος ἡ πολύολβος. καὶ ἐβεβηλώθησαν, οἴμοι, τὰ ἅγια, αἱ ἅγιαι εἰκόνες κατεπατήθησαν, ἱπποστάσια γεγόνασιν οἱ θεῖοι ναοί, εἰπεῖν δι' ὀλίγου τὸ πᾶν, ἐγκατελείφθη ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ἔρημος παντὸς ἀγαθοῦ, πλήρης παντοίων κακῶν.
ἕως πότε, κύριε, ἐπιλήσῃ ἡμῶν, ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀφ' ἡμῶν; ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν, ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωξάντων ἡμᾶς, μὴ ἐάσῃς ἡμᾶς συναπολέσθαι ταῖς ἀνομίαις ἡμῶν μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακὰ ἡμῶν μηδὲ ἀποστῇς ἀφ' ἡμῶν, ὅτι μεγάλη θλῖψις ἐγγύς, καὶ οὐκ ἔστιν ὁ βοηθῶν ἡμῖν, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀφ' ἡμῶν, πρόσσχες εἰς τὴν ἀντίληψιν ἡμῶν ῥῦσαι ἀπὸ ῥομφαίας τὰς ψυχὰς ἡμῶν. ἐπὶ σοὶ γάρ, κύριε, ἠλπίσαμεν. μὴ καταισχυνθείημεν εἰς τὸν αἰῶνα, κλῖνον τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι ἡμᾶς, ὅτι σὺ εἶ ὁ ὑπερασπιστὴς ἡμῶν καὶ εἰς χεῖρας σου παρατιθέαμεν τὰ πνεύματα ἡμῶν.

## IV

### *Theodoros I. Laskaris (1204—1221)*

**94** Θεόδωρος ὁ Λάσκαρις, ἀνὴρ γεννάδας καὶ κραταιός. οὗτος καὶ οἱ μετ' αὐτὸν μέχρι τοῦ πρώτου Παλαιολόγου, κυροῦ Μιχαήλ, διῆγον ἔχοντες τὰ βασίλεια ἐν τῇ Ἀσίᾳ τῇ ἀντιπέραν δηλαδὴ Κωνσταντινουπόλεως, φυγάδες ὄντες τοῖς Λατίνοις, ἔτη ιθ΄.

### *Johannes III. Dukas Batatzes (1221—1254)*

**95** μετὰ τοῦτον ἐκράτησεν Ἰωάννης ὁ Δούκας, ὁ λεγόμενος Βατάτζης, συνετὸς καὶ βριαρόχειρ ἀναφανείς, ἔτη λγ΄.

### *Theodoros II. Laskaris (1254—1258)*

**96** ὁ κῦρ Θεόδωρος ὁ Λάσκαρις ὁ δεύτερος, ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ἔτη γ΄ ἥμισυ.

### *Michael VIII. Palaiologos (1258—1282)*

**97** μετὰ τοῦτον ἐβασίλευσεν ὁ κραταιὸς Μιχαήλ, ὁ πρῶτος Παλαιολόγος, ὃς ἐξέωσε τοὺς Λατίνους τῆς βασιλίδος τῶν πόλεων καὶ ἀπέδωκεν αὐτῇ πάλιν τὸν οἰκεῖον αὐτῆς κόσμον, ἔτη κδ΄, μῆνας β΄, ἡμέρας κ΄.

### *Andronikos II. Palaiologos (1272/82—1328)*

**98** Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ, ὁ εὐσεβέστατος καὶ νοῦς ὁ ἀσύγκριτος, ἔτη με΄, μῆνας ς΄.

### *Michael IX. Palaiologos (1294—1320)*

**99** Μιχαὴλ ὁ δεύτερος, ὁ υἱὸς αὐτοῦ, ὁ λόγῳ καὶ πράξει βασιλεὺς ὄντως, ἔτη ιγ΄, ἡμέρας κβ΄.

### *Andronikos III. Palaiologos (1328—1341)*

**100** Ἀνδρόνικος ὁ δεύτερος, ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ἡ τῶν χαρίτων συνδρομή, ἔτη κγ', μῆνας τρεῖς.

### *Johannes V. Palaiologos (1341—1391)*

**101** Μανουήλ (!) ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ὁ στρατηγικώτατος καὶ τῶν ἀνακτόρων κλέος, ἔτη μα'.

### *Johannes VI. Kantakuzenos (1341/1347—1354)*

**102** Ἰωάννης ὁ Καντακουζηνός, ὁ τῷ σχήματι μετονομασθεὶς Ἰωάσαφ μοναχός, ὁ πορφυρογέννητος, ἔτη ιδ'.

### *Johannes V. Palaiologos*

**103** Ἰωάννης, τῶν Παλαιολόγων ὁ ἕκτος, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ἰωάσαφ μοναχός, ὁ πορφυρογέννητος, ἔτη β' ἥμισυ.

### *Manuel II. Palaiologos (1391—1425)*

**104** Μανουὴλ ὁ δεύτερος, ὁ υἱὸς Ἰωάννου, ὁ πορφυρογέννητος, ἔτη ιβ', μῆνας δ', ἡμέρας κε'.

### *Johannes VIII. Palaiologos (1425—1448)*

**105** Ἰωάννης ὁ τρίτος, ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ὁ συγκροτήσας τὴν σύνοδον ἐν τῇ Φλωρεντίᾳ καὶ συγκλίνας κατ' ἀνάγκην τοῖς δόγμασι τῶν Λατίνων ἕνεκα βοηθείας τῆς πρὸς τοὺς Ἀγαρηνούς, ὑφ' ὧν ἐπιάζετο Κωνσταντινούπολις, συμπαρόντων τῶν τε ἄλλων λογάδων καὶ αὐτοῦ τοῦ κυροῦ Μάρκου τοῦ Εὐγενικοῦ καὶ μητροπολίτου Ἐφέσου, ἔτη κγ', μῆνας γ', ἡμέρας ι'.

### *Konstantin XI. Palaiologos (1448—1453)*

**106** Κωνσταντῖνος, τῶν Παλαιολόγων ὁ ὕστερος, ὁ ἀδελφὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ὁ δικαιότατος, μόνος ὢν δεσπότης ἁπάσης τῆς Πελοποννήσου καὶ μετὰ τὸν θάνατον τοῦ ἀδελφοῦ αὐτοῦ, κυροῦ Ἰωάννου, εἰς τὸ τῆς βασιλείας ὕψος ἀναχθείς, ἔτη δ', μῆνας ε'.

### *1453/6961 (Ind. 1) Mai 29*

**107** ἐπὶ τούτου ἐγένετο, οἴμοι, ἡ ἅλωσις τῆς αὐτῆς Κωνσταντινουπόλεως παρὰ τῶν ἀθέων Ἀγαρηνῶν καὶ ἐγένετο δορυάλωτος ἡ πρὶν βασιλὶς πασῶν τῶν πόλεων. ὃς καὶ ἀπεκτάνθη τότε παρ' αὐτῶν ἐν τῇ γενομένῃ χαλάστρᾳ, αὐτός τε καὶ πάντες οἱ λογάδες σχεδόν, καὶ ἐκομίσατο τὸν τοῦ μαρτυρίου στέφανον μὴ θελήσας προδοῦναι τοῖς ἀνόμοις τὰ βασίλεια, μήτε μὴν θελήσας τὸν κίνδυνον διαφυγεῖν δυνατοῦ ὄντος. φεῦ, φεῦ, καὶ ἀπώλετο σὺν ἅμα τῇ πατρίδι καὶ κατεδαφίστη ἐκ βάθρων εἰς·τάχος καὶ ⟨οἱ⟩ οἰκήτορες ταύτης διεσκορπίσθησαν ἐν διαφόρες πόλεις καὶ χῶρες. γέγονε δὲ τοῦτο τὸ ὀλέθριον κακὸν διὰ συνδρομῆς τινων οἰκητόρων τῆσδε τῆς πόλεως. τόση τι δὲ γέγονεν ἡ φθορὰ καὶ ἡ κατάλυσις τῶν ἐνοικούντων ταύτην Χριστιανῶν, οἷα γέγονεν ἔκπαλαι ἐπὶ Ναβουχοδονόσωρ ἐν τῇ Ἱερουσαλὴμ πόλει.